Πνεύματος ἡ κλῆσις παρέχειν, ὡς καὶ τῶν ἀνθρώπων μερὶς οὐ βραχεῖα, τοῖς Μωσαϊκοῖς ἐγκαταγηράσασα νόμοις 1), οὐδαμῶς ἔτχεν ἀνασχέσθαι τὴν τοῦ παναγίου Πνεύματος ὑπόστασιν ὁμολογεῖν, ὥσπερ οὐδὲ τὴν τῶν ἀγγέλων φύσιν· Οὕτω τῶν Μωσαϊκῶν γραμμάτων τὸ περὶ τὴν ὀνομασίαν τοῦ Πνεύματος πρόχειρον ἄχρηστον καὶ αὐτοῖς γε τοῖς Ἰουδαίοις κατέστη, ὡς κατ' αὐτό γε τοῦτο, [τὸ] μὴ μόνον αὐτοῦ προτάττεσθαι τὸν Υἱόν, ἀλλὰ καὶ ὅσα εἰς τὴν τοῦ Υἱοῦ κλῆσιν συνάγεσθαί τε καὶ ἀνάγεσθαι δύναται, ἀφορμὴν ὑπερεχούσης τάξεως, εἰ καὶ μὴ φύσεως, εὑρίσκει· διότι τῶν Ἰουδαίων οὐδενὶ πρὸς ἀμφισβήτησιν περιέστη, ὁ Λόγος λέγω, καὶ ἡ δεξιά, καὶ ἡ δύναμις, καὶ τὰ ὅμοια· οὐδεὶς γὰρ τούτων ἔξαρνος ὤφθη, οὐδ' ἐφαρμόζειν ἀπαναισχύντησε λέγεσθαι ταῦτα τοῦ Πατρός, εἰ καί, ὅπερ τούτοις ἐστὶ πρόβλημα καὶ συγκεφαλαίωσις, τὸ πρόσωπον τοῦ Υἱοῦ οὐχ ὁμοίως συνομολογεῖται πᾶσι. Ταύτῃ ἄρα εἰκότως τὴν δευτέραν κατὰ τὴν ἀρίθμησιν ὁ Υἱός, ἀλλ' οὐχὶ τὸ Πνεῦμα ἐπέχει τάξιν.

§. β.' Οὐ μὴν ἀλλὰ καὶ διότι μετὰ τὴν χάριν, ἥτις τὸν Υἱὸν ἐθεολόγησε διαῤῥήδην, ἡ τοῦ Πνεύματος εἰλικρινὴς μάθησις προῆλθε· καὶ γὰρ ἡνίκα πυρίνων γλωσσῶν οὐρανόθεν ἐπιδημίᾳ πολυγλώσσους φωνὰς ἐδημιούργει τοῖς Ἀποστόλοις τὸ Πνεῦμα, καὶ παντὸς ἔθνους ῥήτορας αὐτοσχεδίους κατεσκεύαζε τοὺς ἀγραμμάτους, τότε δὴ τότε μᾶλλον γέγονεν ἀνθρώπων γένει τῆς αὐτοῦ θεότητος εἰς ἀκριβεστέραν εἴδησιν 2) ἀνενεχθῆναι. Οὐκοῦν ὡς μὲν τῆς τοῦ Πατρὸς φωνῆς ἀνθρώποις προεγνωσμένης, τὸν δὲ Υἱὸν τῆς χάριτος θεολογησάσης 3), τῆς δὲ τοῦ παναγίου Πνεύματος θεότητος τὸ ἀξίωμα 4) μετὰ ταῦτα διὰ τῆς ἐν τοῖς Ἀποστόλοις θεοπρεποῦς ἐνεργείας ἀνακαλυφθείσης, εἰκότως κἀν τῇ συναριθμήσει τὴν αὐτὴν συνδιασώζουσι τάξιν. Ἡ δὲ γνῶσις οὕτω προελθεῖν διῳκονομήθη, ὡς ἂν μὴ ἀθρόον ὁ τῇ τῶν εἰδώλων πλάνῃ προσανακείμενος ἄνθρωπος, Τριάδα σαφῶς προσώπων ἀκούσας, δυσανέλκυστος καὶ δυσανάγωγος τοῦ κατὰ τὴν εἰδωλολατρείαν ὀλισθήματος γένηται· εἰ γὰρ καὶ τῆς Τριάδος κατὰ πρόοδον οὕτω καὶ δι' αἰνιγμάτων τε καὶ παραπετασμάτων κατ' ἀρχὰς μυσταγωγουμένης, μόλις μετέστη τῆς πολυθείας τὸ ἀνθρώπινον, πῶς ἄν, ἐμφανῶς τε καὶ ἀθρόον καταγγελλομένης, ἡ ἐκείνων δεισιδαιμονία πᾶσαν διδασκαλίαν καὶ παραίνεσιν εἰς μοναρχίαν χειραγωγοῦσαν οὐχ ὑπερεῖδέ τε καὶ ἀπώσατο, καὶ τὴν συνέχουσαν ἀπώλειαν τῆς κηρυττομένης σωτηρίας οὐ προέθετο; Οὐκοῦν εἰκότως ἡ τοῦ Πατρὸς ἀπεκαλύφθη πρῶτον γνῶσις, καὶ κατὰ προκοπὴν ἡ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, ἐκεῖθέν τε τῆς ἐν τῇ γνώσει τάξεως τὸ ἱερὸν ἡμῶν καὶ θεοπρεπὲς τῆς μυσταγωγίας κἀπὶ τῆς συναριθμήσεως ἀκολούθως τὸ αὐτὸ συνεφειλκύσατο προνόμιον.

§. γ'. Ἄλλως τε δὲ πατέρα ἡμῶν ὀνομάζειν τὸν Θεόν, οὔτε δύσφημον, οὔτε λυπηρὸν ἀκοῇ, ἀλλ' ἀνὰ χεῖρα τε, καὶ τὴν παῤῥησίαν οὐκ αἰσχυνόμενον· υἱὸν δὲ ἡμῶν ἀποφαίνειν τὸν Υἱόν, ἢ τὸ πανάγιον Πνεῦμα, οὔτε διανοίᾳ ἀνεκτόν, ἀλλά γε μετὰ τῆς ἀσεβείας καὶ τὸ ἀλλόκοτον ἡ φωνὴ συνεφέλκεται. Οὐκοῦν τὸ ὄνομα τοῦ Πατρὸς τῇ τε συνήθει χρήσει καὶ τῇ ἐμφύτῳ τῆς ἐπιβολῆς ὁ ἀνθρώπινος νοῦς οὐκ ἐργῶδες ἔχει παραδέχεσθαι. Ἡ δὲ γνῶσις αὐτοῦ προκαταλαβοῦσα, καὶ τῶν ἱερῶν λογίων τὴν διδασκαλίαν εἱρμῷ παρέστησε προϊοῦσαν ἐκ τῆς πρὸς τὴν φωνὴν συνηθείας, οὐ δυσχερῶς ἡμῖν ἐνιέναι τὴν τῶν ὑπερφυῶν προνοησαμένη 5) μάθησιν. Εἰ βούλει δέ, καὶ διότι πάλιν οὔτε λόγος ὁ ἔμφυτος, οὔτε μὴν ἡ διὰ τοῦ ἔθους χρῆσις, οὐμενουν, οὐκ ἐθέλει τὸν Πατέρα προελθεῖν τοῦ Υἱοῦ, ἀλλ' οὐδὲ τοῦ Πνεύματος, ᾀεὶ δὲ τὸ ἔμπαλιν οἶδε, καὶ τοὺς πειθομένους διδάσκειν οὐχ ὑποστέλλεται· ἐξ οὗ δὴ καὶ ἡ συναρίθμησις τὸν Πατέρα τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος προτάττειν παραλαβοῦσα, τὴν μάθησιν οὐκ ἐνύβρισε. Διὰ τοῦτο δὲ ἄρα καὶ δεξιὰ μὲν λέγεται, καὶ λόγος, καὶ δύναμις, καὶ σοφία τοῦ Πατρὸς ὁ Υἱός, καὶ τὰ παραπλήσια. Ὁ δὲ Πατὴρ καίτοι μηδὲν πρὸς αὐτὸν τὴν φύσιν φέρων παραλλάττουσαν, οὔτ' ἂν θεωρεῖσθαι, οὔτε λέγεσθαι, εἰς Λόγον ἔλθοι τοῦ Υἱοῦ· εἰς γὰρ τὸν Υἱὸν οὐκ ἀναγόμενος, ὡς εἰς ἀρχὴν καὶ αἰτίαν, οὐδ' ὅσα εἰς αὐτὸν ἐκεῖνος ἀναφερόμενος ἐξοικειοῦται. Ἔνθεν ἄρα καὶ τὸν Πατέρα θεολογοῦντες διὰ τοῦ Υἱοῦ πράττειν, ἢ καὶ διὰ τοῦ Πνεύματος, ὅσα πέφυκεν ἡ μακαρία φύσις καὶ ὑπέρθεος ἐνεργεῖν, οὐχὶ δὲ τὸ ἀνάπαλιν ἀναδεχόμεθα λέγειν· οὔτε γὰρ τὸν Υἱόν, οὔτε τὸ Πνεῦμα διὰ τοῦ Πατρὸς ἐνεργεῖν, μυσταγωγούμεθα δογματίζειν.

§. δ'. Χωρὶς δὲ τῶν εἰρημένων οὐκ Ἰουδαίοις μόνον, ἀλλὰ καὶ ὅσοις ἡ τῶν εἰδώλων πλάνη λατρεία, ἡδύ τε καὶ ἐπίχαρι καλεῖν τὸν Θεὸν ἑαυτῶν Πατέρα· καὶ ἵνα τὸ τῶν ποιητῶν αὐτόνομον παραδράμω, ἀλλ' οὖν ἀκούειν ἐστὶ τὸν Ἀρίστωνος 6) (ὃς ἄκρον ἄωτον οὗτος 7) τῆς ἐν Ἕλλησι φιλοσοφίας) μετὰ πολλῶν καὶ ἄλλων, τὴν αὐτὴν σπουδὴν ἀναδεδεγμένων, Πατέρα καὶ ποιητὴν τοῦδε τοῦ παντὸς τὸν Θεὸν ὑμνολογοῦντα, «Ὃν καὶ εὑρεῖν ἔργον τε εἶναι, καὶ εὑρόντα, εἰς πάντας ἐξειπεῖν, ἀδύνατον» ἐφιλοσόφει. Καὶ τοῖς Ἰουδαίοις δὲ πρόχειρός τε ἦν καὶ γλυκεῖα ἡ φωνή, καὶ σεμνότητος ἀφορμή· διὸ καὶ τὰς ὀφρῦς ἀνασπῶντες, ἀνθ' ὧν ἐρυθριᾷν καὶ συνεστάλθαι τοῦ θράσους ἔδει, «Ἡμεῖς

1) Τουτέστιν οἱ Σαδδουκαῖοι. Πράξ. κγ, 8. – 2) Ἀνείδησιν ΒΜ. – 3) ΒΜ. τὸ δὲ ΑΡ. θεολογήσας. – 4) Οὕτω καὶ ΒΜ. ἀλλὰ τὸ ἀξίωμα παρέλκει. – 5) Ἐν δὲ ΑΡ. καὶ ΒΜ. Προνοησαμένην. – 6) Λέγει τὸν Πλάτωνα ἐπιστ. ς, καὶ ἀλλαχοῦ. – 7) Τα «ὃς ἄκρον ἄωτον οὗτος» λείπουσιν ἐν ΒΜ.

(ὥσπερ ἐπιγχυριῶντες τῷ ῥήματι ἔλεγον) ἕνα Πατέρα ἔχομεν, τὸν Θεόν» 1). Ὁρᾷς, ὅπως ἡδύ τε καὶ ἐπαφρόδιτον τῇ ἀνθρωπίνῃ φύσει Πατέρα καλεῖν ἑαυτῶν τὸν Θεόν; Περὶ δὲ τοῦ Υἱοῦ, ἢ τοῦ Πνεύματος, τί ἄν τις τοιοῦτον λαβεῖν εὑρήσει, ἢ εἰπεῖν οὐκ ἐρυθριάσει; Καὶ διὰ τοῦτο ἄρα κατ' ἀρχὰς οὐκ ἦν ὁμοίως τὸν Υἱόν, ὥσπερ τὸν Πατέρα, καταγγέλλεσθαι ῥᾴδιον, ἀλλ' ἑτέραις ἰσοδυναμούσαις φωναῖς τοῖς οὐκ ἀναξίοις ἡ περὶ αὐτοῦ μυσταγωγία παρεδίδοτο. βραχίονι λέγω, καὶ δεξιᾷ, καὶ σοφίᾳ, καὶ τοῖς παραπλησίαν ὑποβαλλομένοις τὴν δύναμιν· ἡ δὲ τοῦ Υἱοῦ προσηγορία, σιγῆς ὁρίοις ἐθαλαμεύετο. Διὰ τί; διότι τὸ μὲν Υἱὸς αὐτόθεν 2) καὶ αὐτίκα διαφορὰν προσώπου συνεπιφέρεται, ὃ τοὺς ἀσθενεστέρους, ἢ φιλοτιμουμένους τὸ φιλόνεικον, πρὸς τὸ πολύθεον ὑποσκελίζει καὶ ὑποσύρεται 3)· ἡ δεξιὰ δέ, καὶ ὅσα ἐφάμιλλα, μικροῦ τὴν ῥοπὴν ἐξισάζοντα, διαφοράν τε παραδηλοῦν ὑποστάσεων, καὶ πρὸς τὴν αὐτὴν καὶ μίαν συνάγεσθαι, οὐκέτι τοῖς πρὸς εἰδωλολατρείαν κεχηνόσιν ἀφορμὴ τῆς ἴσης βλάβης ἐγίνετο.

§. ε. Καὶ μέντοι καὶ τοῦ Πνεύματος ἡ φωνὴ ἐπιμερίζεσθαι δυναμένη πρός τε τὸ ἀνυπόστατον 7) καὶ πρός γε τὸ ἐνυπόστατον, οὐχ ὥσπερ ἡ ὀνομασία τοῦ Υἱοῦ, τοὺς μὴ βουλομένους αὐτὸ 5) καθ' ὑπόστασιν αὐτοτελῆ παραδέχεσθαι συναγκάζει, καὶ μετάγει πρὸς συγκατάθεσιν, ἀλλ' ἔτι δεῖται τῆς διὰ τῶν λογίων κατασκευῆς καὶ συνεπικρίσεως. Διὰ τοῦτο ἄρα εἰ τὸ Πνεῦμα ἧττον μέν, ἤπερ ὁ Πατήρ, μᾶλλον δέ, ἤπερ ὁ Υἱός, κατ' ἀρχὰς ἐκρύπτετο, οὐ δίδωσιν αὐτῷ τοῦ κηρύγματος ἡ τάξις τὴν αὐτὴν ἐν τῇ συναριθμήσει κατάταξιν· ὁ μὲν γὰρ Πατὴρ καὶ Υἱὸς κηρυττόμενοι, τὸ αὐθυπόστατον ἀνεπιμερίστως εἰσάγουσιν, ἡ δὲ τοῦ Πνεύματος φωνή, δυναμένη μὲν ὁμοίως δηλοῦν τὸ αὐθυπόστατον, οὐχ ὁμοίως δὲ πρὸς 6) μόνην ὑπόστασιν ἀποδίδοσθαι, οὐ συνδιασώζει τοῦ προτάττεσθαι τὸ ἀξίωμα.

§. ς'. Ἔτι δὲ εἰ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα τοῖς Μαθηταῖς ἀπεστέλλετο, τῆς ἀποστολῆς τὴν φύσιν οὐδὲν ἐλαττούσης, ἀλλὰ τὸ ἀπαράλλακτον συντηρούσης, ἡ κατὰ συναρίθμησιν τάξις τῶν κατὰ τὰς ὑποστάσεις ἰδιωμάτων συνδιευκρινεῖν τε καὶ συνανακηρύττειν δύναιτ' ἂν τὸ ἀναλλοίωτον καὶ ἀσύγχυτον. Καὶ μὴν καὶ διότι μάλιστα τὴν θεολογίαν τοῦ Πνεύματος παρὰ τοῦ Υἱοῦ μεμαθήκαμεν· ἐκπορεύεσθαι γὰρ αὐτὸ τοῦ Πατρός, καὶ πρὸς ὁμοταγῆ τάξιν ἀνηνέχθαι τῷ τε Πατρὶ καὶ τῷ Υἱῷ, καὶ ὅτι τῶν τελειοτέρων αὐτὸ χρηματίζει διδάσκαλος 7)· ἃ γὰρ τοὺς Μαθητάς, τῆς ἀνθρωπίνης ἀσθενείας οὔπω τὰ τελεώτερα παραδεχομένης, οὐκ ἐμυσταγώγησεν ὁ Σωτήρ, τὸν Παράκλητον αὐτοῖς ἐκείνων γενέσθαι διδάσκαλον ἐπηγγείλατο 8). Ταύτης οὖν τῆς εἰλικρινοῦς περὶ τοῦ Πνεύματος θεολογίας, καὶ πρὸς ἣν τὸ ἀνθρώπινον οὐκ ἐνήγετο, ὁ Υἱὸς ἐπιδημήσας, ὁρᾶται καθηγησάμενος.

§. ζ'. Διά τε οὖν τὸ προκαταλαβεῖν τὴν γνῶσιν τοῦ Πατρός, καὶ ὅτι ἐξ αὐτοῦ τὴν πρόοδον ὅ τε Υἱὸς καὶ τὸ Πνεῦμα ἔχει, καὶ τὰ μὲν ἐξ αὐτοῦ προελθεῖν δύναται λέγεσθαι, ὁ δὲ οὐκέτι, καὶ τὸν μὲν ἐν ἔθει χρηματίζειν τοῖς ἀνθρώποις ἐξοικειοῦσθαι καὶ ἑαυτῶν ἐπιγράφεσθαι, τὰ δὲ οὐδ' 9) ἐπινοεῖσθαι δύναται, καὶ ὁ μὲν γλυκύ τε καὶ ἐπίχαρι τῷ πλάσματι ἐπιγράφεσθαι, τὰ δὲ πάροδον οὐδεμίαν ἐπιδέχεται· καὶ διά γε τὰ ἄλλα τῶν εἰρημένων, τοιαύτην αὐτῶν τὴν συναρίθμησιν, ὁμοουσίων ὄντων καὶ ὁμοφυῶν, ἡ Ἐκκλησία διασώζειν ὡς ἐπίπαν ἀνεδέξατο. Ἀλλὰ γὰρ αὕτη μὲν τέως κατὰ τὸν στοιχειώδη λόγον Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος ἡ θεωρία τῆς συναριθμήσεως· ἡ δὲ τελειοτέρα καὶ ἀκριβεστέρα διάσκεψις ἰδιαζούσης πραγματείας λόγον ἀπαιτεῖ καὶ ἀπεκδέχεται.

ΡΠΗ. (ΒΜ. ϟᾳ.)

Διὰ τί τοῦ γένους ἡ ἀνόρθωσις οὐχὶ διά τινος τῶν ἀσωμάτων δυνάμεων, ἢ δι' ἀνθρώπου ψιλοῦ. ἀλλὰ διὰ τῆς τοῦ Λόγου κενώσεως γέγονε;

§. ά. Ζητοῦντας οἶδά τινας τῶν φιλολόγων, διὰ τί μὴ τοῦ κοινοῦ πτώματος ἡ διόρθωσις δι' ἑνὸς τῶν ἀνθρώπων ἐγένετο· τὸ γὰρ ὁμοφυὲς ἀγωγὸν μᾶλλον, καὶ πρὸς πειθὼ πλησιαίτερον. Ἀλλὰ γὰρ οὐκ ἐργῶδες αὐτοῖς, εἰ καὶ μὴ πρότερον, νῦν γοῦν καθορᾷν, ὡς καὶ ταῦτα μὲν τῇ τοῦ Λόγου σαρκώσει περιείληπται, ἃ δὲ τὸ θαυμαστὸν ἐκεῖνο τῆς κενώσεως πλουτεῖ, οὐδέν ἐστιν εὑρεῖν, εἰ τῶν ἀνθρώπων τὸ γένος εἰς αὐτῶν ἐλευθερῶσαι τῆς κατὰ πάντων τυραννίδος ἐπεχείρησεν. Ἀλλὰ πρῶτον μὲν ὁ τὴν τηλικαύτην 10) πρᾶξιν ὑπελθεῖν 11) ἀναδεχόμενος, καὶ τὴν πάντων σωτηρίαν σοφίας πλούτῳ καὶ ἀνυπερβλήτῳ φιλανθρωπίᾳ κατεργάσασθαι, οὐ τῶν δεομένων αὐτὸς τῆς ἀλλαχόθεν σωτηρίας καὶ ἀνορθώσεως χρηματίζειν ὤφειλεν 12)· ἀνθρωπίνη δὲ πᾶσα φύσεως ὑπόχρεως μὲν τοῦ ἁμαρτήματος, πολλῆς

1) Ἰωάν. η, 41. – 2) Αὐτόθεν τε ΒΜ. – 3) Τὰ «καὶ ὑποσύρεται» λείπουσιν ἐν ΒΜ. – 4) Αὐθυπόστατον ΒΜ. – 5) Τὸ ΑΡ. καὶ ΒΜ) αὐτόν. – 6) Ἴσ. λείπει τὸ μίαν. – 7) Τελειοτήτων–διδάσκαλον ΒΜ. – 8) Ἰωάν. ιδ, 25. ιε, 26. – 9) Οὐδεὶς ΒΜ. – 10) Τηλικαῦτα ΒΜ. – 11. Ὑπελθὼν ΒΜ. – 12) Ὠφείλει ΒΜ.